τινα κλῆρον ἐκτήσαντο. Ὡς καὶ μέρος τι τῶν Ἰταλῶν τὸ τῶν Σερρῶν κάστρον πολιορκοῦν, ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δεσποζόμενον, τὴν τοιαύτην ἧτταν ἐνωτισάμενον, ἐκεῖθεν ἀποδρᾶναι, καὶ ταῦτα ἐγγὺς ἁλώσεως ἤδη ἐλθόν. Ἐντεῦθεν τὰ τῶν Ἰταλῶν κατά τε ἕω καὶ τὴν ἑσπέραν, σθεναροῖς ἀντιπάλοις συγκρούοντα, τῷ τε βασιλεῖ Ἰωάννῃ καὶ τῷ Κομνηνῷ Θεοδώρῳ, ἤρξαντο προκόπτειν τοῖς χείροσιν.

Ἐπεὶ γὰρ ἐν τῷ εἰρημένῳ τόπῳ τοὺς Φράγγους ὁ βασιλεὺς, ὡς εἴρηται, ἐτροπώσατο, αὐτίκα καὶ τὰ παρ' ἐκείνων τυραννούμενα φρούρια Ῥωμαίων ἐπολιόρκει, καὶ ἠλευθέρου ταῦτα, μηδενὸς ἀνθισταμένου καὶ ἀντιπίπτοντος· καὶ οὐκ ἐνέλιπε κατὰ πάντα καιρὸν, ἔαρι δηλονότι, καὶ θέρει, καὶ μετοπώρῳ καὶ μέσῳ χειμῶνι, τὰς ἐφόδους ποιούμενος, ἑλεπόλεις τε συνιστῶν καὶ καταβάλλων ἐπάλξεις, ἕως οἱ ἐντὸς ἀπειρηκότες, τὰ μὲν προεδίδουν, τὴν ζωὴν ἐξωνούμενοι, τῶν δὲ ἐξέπιπτον μάχῃ, καὶ δεσμῶται ταῖς εἱρκταῖς παρεπέμποντο.

Ἑάλω γοῦν ὑπὸ τοῦ βασιλέως τὸ Ποιμανηνὸν, τὰ Οὐαλεντινιανὰ, τὸ Χαρίορον, τὸ Βερβενίακον. Ἀλλὰ καὶ τριήρεις ὁ βασιλεὺς εὐτρεπίσας περὶ τὸν Ὁλκὸν ἔστησε (πόρος δὲ οὗτος περίπου τὴν Λάμψακον), τοὺς ἐκ τῶν Ἰταλικῶν χωρῶν πρὸς τὴν Κωνσταντίνου διαπλωΐζομένους παγίδα ταύτας ἔχειν διαταξάμενος· ἀλλὰ καὶ κατὰ Δύσιν ὁρμῶν καὶ τὰ ἐκείνων λείαν ποιούμενος, τό τε ἄστυ τῶν Μαδύτων πορθῶν καὶ τὴν Καλλιούπολιν, καὶ τὰ παράλια ὅσα τοῖς Λατίνοις ὑπόφορα, εἶχε καὶ αὐτὰς συναντιλαμβανομένας τοῦ ἔργου ἐν οὐ μικροῖς.

Ἀλλ' οὕτω τοῦ βασιλέως ἐν πᾶσιν ἀκμάζοντος κατά τε γῆν τε καὶ θάλασσαν σκευωρεῖται τούτῳ ἐπιβουλή· ὁ δὲ ταύτης πρωτεργάτης ὁ πρωτεξάδελφος ἦν τοῦ βασιλέως Ἀνδρόνικος ὁ Νεστόγγος, ἔχων εἰς τοῦτο συμπράκτορα καὶ τὸν ἀδελφὸν Ἰσαάκιον καὶ ἑτέρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους, τόν τε Φλαμούλιον, ὃν μέγαν ἑταιρειάρχην ὁ βασιλεὺς ἐτίμησε καὶ τὸν